www.tezaurliturgic.ro

ΑΡΧΙΜΑΝΔΡΙΤΟΥ
ΚΥΡΙΛΛΟΥ ΙΩΑΝ. ΚΟΓΕΡΑΚΗ

# ΑΓΙΟΣ ΑΠΟΣΤΟΛΟΣ ΤΙΤΟΣ
## ΑΚΟΛΟΥΘΙΑΙ ΚΑΙ ΑΓΙΟΛΟΓΙΚΑ ΚΕΙΜΕΝΑ

ΕΚΔΟΣΙΣ
ΙΕΡΟΥ ΕΝΟΡΙΑΚΟΥ ΝΑΟΥ ΑΓΙΟΥ ΤΙΤΟΥ ΗΡΑΚΛΕΙΟΥ
ΗΡΑΚΛΕΙΟΝ 2004

www.tezaurliturgic.ro

# ΑΥΓΟΥΣΤΟΥ ΚΕ΄

## ΜΝΗΜΗ ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΚΑΙ ΠΑΝΕΥΦΗΜΟΥ ΑΠΟΣΤΟΛΟΥ ΤΙΤΟΥ ΠΡΩΤΟΥ ΕΠΙΣΚΟΠΟΥ ΚΡΗΤΗΣ

## ΕΙΣ ΤΟΝ ΜΙΚΡΟΝ ΕΣΠΕΡΙΝΟΝ

Ἱστῶμεν στίχ. δ΄ καὶ ψάλλομεν τὰ κάτωθι Στιχηρὰ προσόμοια.

Ἦχος πλ. β΄. Τριήμερος ἀνέστης.

Ὁ θεῖος Μαθητής σου Χριστέ, ὑμνείσθω Τίτος σήμερον ἐγκωμίοις, ὁ βαστάσας ἐπὶ γῆς, στεῤῥῶς τὸ ὄνομά σου, καὶ κόσμῳ καταγγείλας, τὴν ἐπιφάνειαν τῆς δόξης σου.

Τοῦ Παύλου συνοδίτης πιστός, ἐγένου καὶ συνέκδημος μάκαρ Τίτε, καταγγέλων τοῖς λαοῖς, Θεοῦ τὰ μεγαλεῖα, καὶ κόσμῳ ἀνατέλλων, Εὐαγγελίου τὴν λαμπρότητα.

www.tezaurliturgic.ro



Δοχεῖα ἀπειργάσω φωτός, ἀκτῖσι τοῦ κηρύγματος τοὺς ἐν πλάνης, τῶν εἰδώλων τῇ νυκτί, καθεύδοντας ὦ Τίτε· διὸ ἐθαυμαστώθης, ὡς πνευματέμφορος Ἀπόστολος.

Ἡ Κρήτη σε γεραίρει ἀεί, αὐτῆς ὡς Πρωτεπίσκοπον Πάτερ Τίτε, ἣν συντήρει ἀκλινῆ, τῆς πίστεως ἐν πέτρᾳ, πρεσβείαις σου ἁγίαις, πρὸς τὸν δοξάσαντά σε Κύριον.

Δόξα. Ἦχος α΄.

Τρόπαιον εὐσεβείας, ἐν Κρήτῃ ἀνέστησας, Ἀπόστολε ἔνδοξε Τίτε· καθοπλισάμενος γὰρ νουνεχῶς, τοῦ Σταυροῦ τὴν ἀήττητον δύναμιν, τὴν πλάνην τῶν εἰδώλων κατήργησας, καὶ ἐκ φάρυγγος τοῦ ἐχθροῦ τῆς ἀληθείας, ἀνθρώπων πλῆθος μέγα ἐξήρπασας. Ὅθεν σήμερον οἱ πιστοί, τὴν μνήμην σου ἐπιτελοῦντες, τὸν διὰ σοῦ κηρυχθέντα δοξάζομεν Χριστόν, τὸν παρέχοντα τὴν εἰρήνην ταῖς ψυχαῖς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Ἁμαρτωλῶν τὰς δεήσεις προσδεχομένη, καὶ θλιβομένων στεναγμὸν μὴ παρορῶσα, πρέσβευε τῷ ἐξ ἁγνῶν λαγόνων σου, σωθῆναι ἡμᾶς, Παναγία Παρθένε.

Εἰς τὸν Στίχον, Στιχηρὰ Προσόμοια.
Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.

Μέγας ὡς ἀληθῶς, ἐδείχθης μάκαρ Τίτε, μεγάλα ἐκτελέσας, ὑπὲρ τῆς εὐσεβείας, ἐν κόσμῳ κατορθώματα.

Στίχ. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτοῦ.

www.tezaurliturgic.ro



Παύλου ὡς μαθητής, τοῖς ἔθνεσι τὸν λόγον, τῆς ἀληθείας Τίτε, κατήγγειλας καὶ ὤφθης, Ἀπόστολος θεόπνευστος.

Στίχ. Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ, ποίησιν δὲ χειρῶν αὐτοῦ ἀναγγέλλει τὸ στερέωμα.

Κρήτην τῷ τοῦ Σταυροῦ, σημείῳ σημειώσας, αὐτὴν τῆς τῶν εἰδώλων, λατρείας παμμιάρου, ὦ Τίτε ἠλευθέρωσας.

Δόξα. Τριαδικόν.

Ἕνα σε ἐν τρισίν, ὦ Κύριε προσώποις, ἐκήρυξεν ἀνθρώποις, ὁ Τίτος ὁ θεόπνους, ὡς πάνσοφος Ἀπόστολος.

Καὶ νῦν. Θεοτοκίον.

Πρέσβευε τῷ ἐκ σοῦ, ἀσπόρως σαρκωθέντι, Θεόνυμφε Μαρία, ἡμῖν ἵνα πταισμάτων, δωρήσηται τὴν ἄφεσιν.

Νῦν ἀπολύεις, τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ καὶ Ἀπόλυσις.

www.tezaurliturgic.ro

## ΕΙΣ ΤΟΝ ΜΕΓΑΝ ΕΣΠΕΡΙΝΟΝ

Μετὰ τὸν Προοιμιακόν, στιχολογοῦμεν τὸ Μακάριος ἀνήρ. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. στ΄ καὶ ψάλλομεν τὰ κάτωθι Στιχηρὰ Προσόμοια.

Ἦχος δ΄. Ἔδωκας σημείωσιν.

Μίαν τρισυπόστατον, ἀνακηρύττων Θεότητα, τὴν πολύθεον θάλασσαν, Ἐθνῶν διετάραξας, καὶ γαληνοτάτους, Τίτε πρὸς λιμένας, τοὺς νηχομένους τῷ βυθῷ, τῆς ἀθεΐας σὺ ἐγκαθώρμισας· ἐντεῦθεν τὴν οὐράνιον, ἀντιμισθίαν ἀπείληφας, δυσωπῶν τὸν Φιλάνθρωπον, ὑπὲρ τῶν ἀνυμνούντων σε.

Θείαις ἀναλάμψεσι, καταυγασθεὶς τὴν διάνοιαν, ὡς ἀκτὶς συμπεπόρευσαι, ἡλίῳ φωτίζοντι, τὰ ἐσκοτισμένα, Παύλῳ θεῖε Τίτε, καὶ σὺν αὐτῷ πᾶσαν τὴν γῆν, τῆς βαθυτάτης νυκτὸς ἀπήλλαξας· διό σε μακαρίζομεν, ὡς Ἱεράρχην θεόληπτον, ὡς Ἀπόστολον ἔνθεον, πρεσβευτὴν ὡς θερμότατον.

Κρήτης ἐξορμώμενος, καὶ ἐν αὐτῇ ἀφικόμενος, ἀῤῥαγὴς ὡς θεμέλιος, ἐν ᾗ ἐστερέωτο, ὀρθοτάτῃ πίστει, τῇ οἰκο-

www.tezaurliturgic.ro



δομίᾳ, ἐπῳκοδόμησε πιστούς, τῆς οὐρανίας θείας δυνάμεως, ὁ Τίτος ὁ μακάριος, ὁ τῆς Γορτύνης πρωτόθρονος, καὶ τοῦ Παύλου συνέκδημος, τῶν πιστῶν ἡ παράκλησις.

Ἕτερα. Ἦχος ὁ αὐτός. Ὁ ἐξ Ὑψίστου κληθείς.
Γεωργίου Ἱερέως.

Τίτος ὁ δοῦλος Θεοῦ τοῦ ἐν Τριάδι, Παῦλον τὸν Ἀπόστολον ἐν τῇ Ἑῴᾳ εὑρών, αὐτῷ πιστῶς ἠκολούθησεν, ἕως εἰς Δύσιν, καὶ ὑπηρέτης Χριστοῦ ἐγένετο· θείαις δὲ ἐλλάμψεσι, πάντας ἐφώτισε, τῆς ἀθεΐας τὴν ζόφωσιν, καὶ τῶν εἰδώλων, πᾶσαν τὴν πλάνην κατεπολέμησεν. Ὅθεν ἀξίως μακαρίζεται, ὡς λαβὼν ἐκ Θεοῦ χάριν ἄφθονον, καὶ πρεσβεύει ἀπαύστως, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καταλιπών σε ὁ Παῦλος ἐν τῇ Κρήτῃ, Τίτε ὡς Ἐπίσκοπον καὶ Ποιμενάρχην αὐτῆς, σοὶ διετάξατο ἔνδοξε, ἀναπληρῶσαι, ἐν Ἐκκλησίᾳ πάντα τὰ λείποντα· τότε νῆσον ἅπασαν, σὺ κατεφώτισας, τῆς εὐσεβείας τοῖς δόγμασι, καὶ Πρεσβυτέρους, ἐν πάσῃ πόλει ἐχειροτόνησας. Ὅθεν ἀξίως νῦν ἀγάλλεται, πᾶσα Κρήτη τιμῶσα τὴν μνήμην σου, καὶ θερμῶς ἱκετεύει, τῇ πρεσβείᾳ σου φυλάττεσθαι.

Τῆς νήσου Κρήτης ὁ Πάτρων καὶ προστάτης, Χριστοῦ Ἀρχιποίμενος ἀναδειχθεὶς μιμητής, τὴν τῶν ἐθνῶν διετάραξε, πολυθεΐαν, καὶ μίαν πίστιν Χριστοῦ ἐτράνωσε· δύσας δ᾽ ὁ μακάριος, ἐν γῇ κατέλιπε, διδασκαλίας τὴν ἄδυτον, θείαν ἀκτῖνα, καὶ θείαν Κάραν ἐν τῷ ναῷ αὐτοῦ. Ἣν εὐσεβάστως ἀσπαζόμεθα, ἀρυόμενοι πίστει ἰάματα, καὶ ψυχῶν σωτηρίαν, καὶ πταισμάτων ἀπολύτρωσιν.

Δόξα. Ἦχος πλ. β΄.

Τῆς ἐκλογῆς τοῦ σκεύους, Παύλου θεοκήρυκος, φοιτητὴς γενόμενος, καὶ μυηθεὶς τὰ θεῖα παρ᾽ αὐτοῦ διδάγματα, εἰς τὰ ἔθνη πρὸς πίστιν ἀπεστάλης, ἐπιστρέφειν καὶ φωτίζειν, τῇ αἴγλῃ τῶν λόγων σου. Ὅθεν εἰς τὰ πέρατα διέδραμες, Ἀπό-

www.tezaurliturgic.ro



στολε Τίτε, εὐαγγελιζόμενος πᾶσι, τὸν σαρκωθέντα Θεόν· ὃν καθικέτευε, τοῦ σωθῆναι τοὺς ἐν πίστει ἐκτελοῦντας, τὴν ἀεισέβαστον μνήμην σου.

Καὶ νῦν. Θεοτοκίον.

Τίς μὴ μακαρίσει σε, Παναγία Παρθένε; Τίς μὴ ἀνυμνήσει σου, τὸν ἀλόχευτον τόκον; ὁ γὰρ ἀχρόνως ἐκ Πατρὸς ἐκλάμψας Υἱὸς μονογενής, ὁ αὐτὸς ἐκ σοῦ τῆς Ἁγνῆς προῆλθεν, ἀφράστως σαρκωθείς, φύσει Θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος ἄνθρωπος δι' ἡμᾶς· οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ' ἐν δυάδι φύσεων, ἀσυγχύτως γνωριζόμενος. Αὐτὸν ἱκέτευε, σεμνὴ Παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἴσοδος, τὸ Φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.

Πρὸς Τίτον Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

(Κεφ. α΄ 1-5).

Παῦλος δοῦλος Θεοῦ, Ἀπόστολος δὲ Ἰησοῦ Χριστοῦ κατὰ πίστιν ἐκλεκτῶν Θεοῦ καὶ ἐπίγνωσιν ἀληθείας τῆς κατ' εὐσέβειαν ἐπ' ἐλπίδι ζωῆς αἰωνίου, ἣν ἐπηγγείλατο ὁ ἀψευδὴς Θεὸς πρὸ χρόνων αἰωνίων, ἐφανέρωσε δὲ καιροῖς ἰδίοις τὸν λόγον αὐτοῦ ἐν κηρύγματι, ὃ ἐπιστεύθην ἐγὼ κατ' ἐπιταγὴν τοῦ Σωτῆρος ἡμῶν Θεοῦ, Τίτῳ γνησίῳ τέκνῳ κατὰ κοινὴν πίστιν· χάρις, ἔλεος, εἰρήνη ἀπὸ Θεοῦ Πατρὸς καὶ Κυρίου Ἰησοῦ Χριστοῦ τοῦ Σωτῆρος ἡμῶν. Τούτου γὰρ χάριν κατέλιπόν σε ἐν Κρήτῃ, ἵνα τὰ λείποντα ἐπιδιορθώσῃ καὶ καταστήσῃς κατὰ πόλιν Πρεσβυτέρους, ὡς ἐγώ σοι διεταξάμην.

Πρὸς Τίτον Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

(Κεφ. β΄ 1-8, 11-15).

Τέκνον Τίτε, λάλει ἃ πρέπει τῇ ὑγιαινούσῃ διδασκαλίᾳ. Τοὺς νεωτέρους παρακάλει σωφρονεῖν, περὶ πάντα σε-

www.tezaurliturgic.ro



αυτὸν παρεχόμενος τύπον καλῶν ἔργων, ἐν τῇ διδασκαλίᾳ ἀδιαφθορίαν, σεμνότητα, ἀφθαρσίαν, λόγον ὑγιᾶ, ἀκατάγνωστον, ἵνα ὁ ἐξ ἐναντίας ἐντραπῇ, μηδὲν ἔχων περὶ ἡμῶν λέγειν φαῦλον. Ἐπεφάνη γὰρ ἡ χάρις τοῦ Θεοῦ ἡ σωτήριος πᾶσιν ἀνθρώποις, παιδεύουσα ἡμᾶς, ἵνα ἀρνησάμενοι τὴν ἀσέβειαν καὶ τὰς κοσμικὰς ἐπιθυμίας, σωφρόνως καὶ δικαίως καὶ εὐσεβῶς ζήσωμεν ἐν τῷ νῦν αἰῶνι, προσδεχόμενοι τὴν μακαρίαν ἐλπίδα καὶ ἐπιφάνειαν τῆς δόξης τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ὃς ἔδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν, ἵνα λυτρώσηται ἡμᾶς ἀπὸ πάσης ἀνομίας καὶ καθαρίσῃ ἑαυτῷ λαὸν περιούσιον, ζηλωτὴν καλῶν ἔργων. Ταῦτα λάλει καὶ παρακάλει καὶ ἔλεγχε μετὰ πάσης ἐπιταγῆς. Μηδείς σου περιφρονείτω.

Πρὸς Τίτον Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.
(Κεφ. γ´ 4-7).

Τέκνον Τίτε, ὅτε ἡ χρηστότης καὶ ἡ φιλανθρωπία ἐπεφάνη τοῦ Σωτῆρος ἡμῶν Θεοῦ, οὐκ ἐξ ἔργων τῶν ἐν δικαιοσύνῃ ὧν ἐποιήσαμεν ἡμεῖς, ἀλλὰ κατὰ τὸν αὐτοῦ ἔλεον ἔσωσεν ἡμᾶς διὰ λουτροῦ παλιγγενεσίας καὶ ἀνακαινώσεως Πνεύματος Ἁγίου, οὗ ἐξέχεεν ἐφ᾽ ἡμᾶς πλουσίως διὰ Ἰησοῦ Χριστοῦ τοῦ Σωτῆρος ἡμῶν, ἵνα δικαιωθέντες τῇ ἐκείνου χάριτι κληρονόμοι γενώμεθα κατ᾽ ἐλπίδα ζωῆς αἰωνίου.

## ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ, Ἰδιόμελα.
### Ἦχος α´. Κυρίλλου Ἱερομονάχου.

Εὐφραίνου ἐν Κυρίῳ, ἡ ἑκατόμπολις Κρήτη, ἐπὶ τῇ μνήμῃ τοῦ εὐκλεοῦς σου ἀρχιθρόνου, Τίτου τοῦ παμμάκαρος. Οὗτος γὰρ τῷ Ἀποστόλῳ τῶν Ἐθνῶν, Παύλῳ τῷ οὐρανοβάμονι μαθητευθείς, καὶ παρ᾽ αὐτοῦ εὐσεβείας μυηθείς, σαφῶς τὸ ἀπόρρητον μυστήριον, ἐν σοὶ ὑπ᾽ αὐτοῦ κατεστάθη, κῆρυξ

www.tezaurliturgic.ro



τοῦ Λόγου καὶ Ἀπόστολος, ἐν Ἐκκλησίᾳ συνάγων τὸν λαόν σου, καὶ καταλύων εἰδώλων, τὰ ἀνίδρυτα ξόανα. Ὅθεν ὡς δι' αὐτοῦ, Τριάδος τὴν πίστιν διδαχθεῖσα, ἐν ἀγαλλιάσει ἀναβόησον· Ἅγιος, Ἅγιος, Ἅγιος εἶ Κύριε, ὁ Θεὸς ὁ Παντοκράτωρ.

Ὁ αὐτός. Διονυσίου Ἀρχιερέως.

Δεῦρο νῦν κοινωνόν, δείξω Παύλου τὸν Τίτον, καὶ συνεργὸν καί δόξαν Χριστοῦ, καὶ Ἐκκλησιῶν Ἀπόστολον· συμπληρούτω δέ μοι Παῦλος αὐτός, Χριστοῦ τὸ στόμα, τοῦ λόγου τὴν σύμφρασιν, ἑνὸς κατὰ σύγκρισιν ἐπεξιών, οὓς αὐτῷ συναπέστειλεν εἰς διακονίαν, ἣν ἐπεπίστευτο. Εἴτε γὰρ ὑπὲρ Τίτου φησί, κοινωνὸς ἐμός, καὶ εἰς ὑμᾶς συνεργός, εἴτε ἀδελφὸς ἡμῶν, Ἀπόστολος Ἐκκλησιῶν, δόξα Χριστοῦ. Ἀλλὰ πρέσβευε Κυρίῳ, Τίτε ἱερώτατε, ὑπὲρ τῆς ποίμνης σου.

Ὁ αὐτός. Τοῦ αὐτοῦ.

Σὺ εἶ Τίτε, τὸ μέγα τῶν ἔργων Παύλου κατόρθωμα· τὸ καλὸν γεώργιον· τὸ περιώνυμον τῶν αὐτοῦ καυχημάτων καλλώπισμα· τὸ κράτιστον ἐκείνου πόνων συμπέρασμα· σὺ νυμφαγωγὸς τῆς Ἐκκλησίας, ἔδνα νυμφικά, καὶ φερνὴν αὐτῇ προικοφορήσας, τὰ Κρήτης γεννήματα. Σὺ τῆς ἐνεγκαμένης, ὁ πρῶτος Ἀρχιποίμην καὶ πρόεδρος, μὴ παύσῃ ἀπὸ νομῶν εἰς νομὰς εἰσάγων τε καὶ ἐξάγων, καὶ πρὸς τὴν νοητὴν τῶν θείων πόσιν, καθοδηγῶν τοὺς ἄρνας Χριστοῦ.

Ἦχος β'. Τοῦ αὐτοῦ.

Σὺ Τίτε ὁ καιόμενος λύχνος, καὶ ὑπὸ μοδίῳ κρύπτεσθαι μὴ δυνάμενος, ἀλλ' ἀφ' ὑψηλοῦ, τῇ χρυσαυγεῖ λυχνίᾳ τῆς Ἐκκλησίας τίθεσθαι· πρέσβευε τῷ ἀνεσπέρῳ φωτί, φωτίζειν τὰς ψυχὰς ἡμῶν.

Ἦχος δ'. Τοῦ αὐτοῦ.

Τίτε μακάριε Πάτερ, τὸ μέγα τῆς Κρήτης καύχημα καὶ καλλώπισμα, καὶ τῆς σκηνῆς τῆς ἀληθινῆς, καὶ τῆς ἄνω

www.tezaurliturgic.ro



μυστολατρείας, καὶ τῶν θείων ὑφηγητά, δέχου παρ' ἡμῶν, οἷόν τι σειρήνιον μέλος, τὸν ἐφύμνιον λόγον, καὶ τραυλίζειν ἐθέλουσι, φιλόστοργος ὤν, ἥδιστα παράλαβε σὸν οὖς, ἡμετέροις ὕμνοις· φίλα γὰρ πατράσι τὰ τῶν τέκνων ψελλίσματα, καὶ σαῖς πατρικαῖς ἱκεσίαις, σῷζε τὰς ψυχὰς ἡμῶν.

Ἦχος πλ. α'. Ἀνωνύμου.

Ἀποστολικοῖς ἀγῶσι σαυτὸν κατακοσμήσας, τῶν Ἀποστόλων συνόμιλος γέγονας, Τίτε Ἀπόστολε· πανταχοῦ γὰρ τὸν λόγον τῆς πίστεως κηρύξας, ἀπείληφας τὸ βραβεῖον, τῆς ἄνω κλήσεως· διὸ Κρήτη κομπάζει σου τὰ θαύματα, ὁμοῦ καὶ τὰ διδάγματα, καὶ ἡ Κάρα τοῖς ἐν αὐτῇ ἐν πίστει προσιοῦσι, βρύει ἰάματα· μεθ' ὧν καὶ ἡμῖν, ὄμβρισον ψυχικῶν νοσημάτων τὴν ἴασιν, καὶ κινδύνων ἐξάρπασον, καὶ πάσης περιστάσεως, τοὺς ἐν πίστει τελοῦντας, τὸ ἱερόν σου μνημόσυνον.

Ἦχος πλ. β'. Γεωργίου Ἱερέως.

Τὸν Μαθητὴν τοῦ Χριστοῦ, τὸν τοῦ Παύλου συνέκδημον, τὸν θεμέλιον τῆς Ἐκκλησίας Κρήτης, δεῦτε ἅπαντες πιστοί, ὡς προστάτην εὐφημήσωμεν. Οὗτος γὰρ πᾶσαν τὴν νῆσον διαδραμών, καὶ τῷ λόγῳ ὡς ἀρότρῳ χρησάμενος, τὴν χερσωθεῖσαν γῆν ἐκαλλιέργησε, καὶ ἀληθείας τὸν σπόρον κατέσπειρε· τὴν δὲ πλάνην τῶν εἰδώλων ἐκριζώσας, πᾶσι τὴν θεογνωσίαν κατέβλυσε, τῇ πίστει τῆς Τριάδος, καταργήσας τὴν πολυθεΐαν· Κρήτην δὲ καὶ Κρῆτας τῷ Χριστῷ προσαγαγών, καὶ αὐτῷ νῦν παριστάμενος, πρεσβεύει ἐκτενῶς, στερεωθῆναι τὴν Ἐκκλησίαν, καὶ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ὁ αὐτός. Τοῦ αὐτοῦ.

Ὁ ἐκ κοιλίας μητρὸς ἁγιασθείς, καὶ τῆς οἰκουμένης διδάσκαλος, Παῦλος ὁ Ἀπόστολος Χριστοῦ, Τίτῳ γνησίῳ τέκνῳ, ὡς πατὴρ διετάξατο· τούτου χάριν κατέλιπόν σε ἐν

www.tezaurliturgic.ro



Κρήτῃ, ἵνα τὰ λείποντα ἐπιδιορθώσῃ, καὶ καταστήσῃς κατὰ πόλιν Πρεσβυτέρους. Τίτος δ' ὁ πρῶτος Ἐπίσκοπος Κρήτης, τοὺς ἱερεῖς τῆς ἀσεβείας καταργήσας, ἱερατεῖον τοῦ Χριστοῦ ἐφύτευσε, καὶ τῶν εὐσεβείας δογμάτων, ἀρραγὴς ἐδείχθη θεμέλιος. Ὅθεν πρὸς αὐτὸν βοήσωμεν· Τίτε Ἀπόστολε, πρέσβευε Χριστῷ τῷ Θεῷ, ὑπὲρ εἰρήνης τοῦ κόσμου, καὶ σωτηρίας τῶν ψυχῶν ἡμῶν.

Ὁ αὐτός. Τοῦ αὐτοῦ.

Παῦλος ὁ κῆρυξ τῆς πίστεως, πρὸς τὸν συνέκδημον Τίτον, Ἐπίσκοπον Κρήτης ἔφη· Κρῆτας ὑπομίμνησκε, ἀρχαῖς καὶ ἐξουσίαις ὑποτάσσεσθαι, μηδένα βλασφημεῖν, ἀμάχους εἶναι, ἐπιεικεῖς καὶ πραεῖς· ἔργων καλῶν προΐστασθαι, εἰς τὰς ἀναγκαίας χρείας, ἅτινά ἐστι τὰ καλὰ καὶ ὠφέλιμα τοῖς ἀνθρώποις· ἔλεγχε αὐτούς, ἵνα ὑγιαίνωσιν ἐν τῇ πίστει, καὶ ἀρνησάμενοι τὴν ἀσέβειαν, σωφρόνως καὶ δικαίως καὶ εὐσεβῶς, ζήσωσιν ἐν τῷ νῦν αἰῶνι, προσδεχόμενοι τὴν ἐπιφάνειαν τῆς δόξης τοῦ Χριστοῦ, τοῦ δόντος ἑαυτὸν ὑπὲρ ἡμῶν. Αὐτὸν οὖν ἐκτενῶς καθικέτευε, θεῖε Ἀπόστολε Τίτε, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

Δόξα. Ἦχος πλ. δ'.
Διονυσίου Ἀρχιερέως.

Ἰδοὺ καὶ πάλιν συνάγει ἡμᾶς Τίτος, ὁ πρῶτος τῆς εἰδωλομανίας ἀντίπαλος, καὶ τῆς Χριστοῦ θεοσοφίας ὑπέρμαχος· ὁ κατὰ τῶν προσκυνούντων τοὺς λίθους, λίθος προσκόμματος κείμενος, καὶ τὸν εἰς κεφαλὴν γωνίας, τῆς Ἐκκλησίας λίθον, Χριστὸν αὐτοῖς ὑποθέμενος· Τίτος τὸ θεόκτιστον τῆς Κρητῶν Ἐκκλησίας προπύργιον· ἡ ἀψευδὴς τῶν ἀδιστάκτως αὐτῷ προσιόντων ἀντίληψις· τὸ εὐπρεπὲς τῆς περὶ ἡμᾶς θείας κηδεμονίας προαύλιον, δι' οὗ τὴν ἀλήθειαν ἔγνωμεν, καὶ τὴν γνῶσιν ἐλάβομεν. Αὐτοῦ πρεσβείαις, σῶσον Κύριε τὰς ψυχὰς ἡμῶν.

www.tezaurliturgic.ro



Καὶ νῦν. Θεοτοκίον.

Δέσποινα πρόσδεξαι, τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ, Στιχηρὰ Προσόμοια.
Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.

Χαίροις τῶν Ἀποστόλων λαμπάς, νυμφαγωγὸς τῆς Ἐκκλησίας οὐράνιος, ὁ κῆρυξ ὁ ῥητορεύσας, τοῦ ἐπὶ πάντων Θεοῦ, τῆς οἰκονομίας τὸ μυστήριον· ἡ γλῶσσα ἡ εὔσημος, τῆς τοῦ Λόγου κενώσεως, ἡ ἐν δυνάμει, Παρακλήτου τρανώσασα, ἐν τοῖς Ἔθνεσιν, εὐσεβείας τὸ κήρυγμα· πρόβολος ὁ θεόπνευστος, δογμάτων τῆς πίστεως, εἰδωλικὴν μάκαρ Τίτε, ὁ καταισχύνας θρασύτητα. Χριστὸν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Στίχ. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτοῦ.

Χαίροις θεοειδὴς ἀληθῶς, μυσταγωγὸς Εὐαγγελίου τῆς χάριτος, συνέκδημος ὁ θεόπνους, τοῦ σκεύους τῆς ἐκλογῆς, καὶ αὐτοῦ ἐν πᾶσιν ἀφομοίωμα· ὁ πλάνης φρυάγματα, ἐπιλάμψει τῶν λόγων σου, κατεδαφίσας, καὶ τοῦ σκότους τὸν ἄρχοντα, τῶν θαυμάτων σου, θριαμβεύσας τῇ χάριτι· ἕδρα τε ἡ ἀκρότομος, καὶ πέτρα τῆς πίστεως, θεοσοφίας ἐν Κρήτῃ, Τίτε ὁ πρῶτος ὑπέρμαχος. Χριστὸν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Στίχ. Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ, ποίησιν δὲ χειρῶν αὐτοῦ ἀναγγέλλει τὸ στερέωμα.

Χαίροις τῆς Κρητονήσου φωστήρ, θεῖος ἀρχίθρονος Ποιμήν τε καὶ Πρόεδρος, διδάσκαλος θεηγόρος, καὶ ὁδηγὸς

www.tezaurliturgic.ro



πρὸς Χριστόν, τὸν Σωτῆρα Τίτε θεοφόρητε· φωνῇ γὰρ ὑπήκοος, τῇ τοῦ Παύλου γενόμενος, αὐτῇ ἐπέστης, ὡς τοῦ Λόγου Ἀπόστολος, ὑφηγούμενος, τὸ σωτήριον κήρυγμα· ὅθεν αὐτὴν ἀνέδειξας, τῆς πίστεως ἄρουραν, καρπογονοῦσαν Ἁγίων, πληθὺν ἀεὶ μυριάριθμον· μεθ' ὧν ἐκδυσώπει, τὴν Τριάδα ὑπὲρ πάντων, τῶν εὐφημούντων σε.

Δόξα. Ἦχος πλ. δ'.
Κυρίλλου Ἱερομονάχου.

Ἠμφιεσμένος τοῦ Παρακλήτου τὴν χάριν, υἱοθεσίαν αἰώνιον ἐκομίσω, φωτισμόν καὶ λύτρωσιν οὐράνιον, τοῖς ἐνοικοῦσιν ἐν Κρήτῃ Ἀπόστολε· τοῦ σκεύους γὰρ τῆς ἐκλογῆς, συνοδοιπόρος καὶ κοινωνὸς γενόμενος, παρ' αὐτοῦ εἰς τὴν νῆσον ἀπεστάλης, εὐαγγελιζόμενος τοῦ Σωτῆρος τὴν κένωσιν, καὶ νεουργῶν τῷ λόγῳ καρδίας, παλαιωθείσας τῇ τῶν εἰδώλων φθορᾷ, ἐκ κακίας πρὸς θείαν ἐπίγνωσιν· ἱερουργήσας δὲ τὰ θεῖα μυστήρια, καὶ κατὰ πόλιν Πρεσβυτέρους καταστήσας, καὶ τὰ λείποντα ἐπιδιορθώσας, τὴν διακονίαν σου ἐπληροφόρησας καλῶς, ἀνθ' ἧς ἐν τοῖς ὑψίστοις, ἐν μετοχῇ ἐγένου τοῦ Κυρίου σου. Ὅθεν μακάριε Τίτε, αὐτὸν ἐκτενῶς καθικέτευε, τὴν λαχοῦσάν σοι μερίδα διασῴζεσθαι, ἐκ παντὸς κινδύνου καὶ θλίψεως.

Καὶ νῦν. Θεοτοκίον.

Δέσποινα πρόσδεξαι, τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Νῦν ἀπολύεις, τὸ Τρισάγιον καὶ τὸ Ἀπολυτίκιον.

Ἦχος δ'. Ταχὺ προκατάλαβε.

Τοῦ Παύλου συνέκδημος, καὶ μαθητὴς γεγονώς, τὴν Κρήτην κατηύγασας, Τίτε Ἀπόστολε, τῇ αἴγλῃ τῶν λόγων σου. Ὡς οὖν ταύτην ἐρρύσω, σκότους τῆς ἀσεβείας, οὕτω καὶ νῦν τοὺς πόθῳ, σὲ τιμῶντας παμμάκαρ, ὡς ἔχων παρρησίαν πολλήν, ῥῦσαι παντὸς πειρασμοῦ.

www.tezaurliturgic.ro



Ἕτερον. Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.
Κυρίλλου Ἱερομονάχου.

Τὸν φωστῆρα τῆς Κρήτης, καὶ Ἐπίσκοπον πρώτιστον, Τίτον τὸν συνέκδημον Παύλου, καὶ τῇ πίστει ὁμότροπον, τὸν λόγῳ θεοπνεύστου διδαχῆς, καὶ χάριτι θαυμάτων τῷ Χριστῷ, συναρμόσαντα τὴν νῆσον οἱ εὐσεβεῖς, ὑμνήσωμεν κραυγάζοντες· Δόξα τῷ σὲ καλέσαντι σοφέ, δόξα τῷ σὲ ἐνισχύσαντι, δόξα τῷ κηρυχθέντι διὰ σοῦ, τρανῶς τοῖς Ἔθνεσι.

Θεοτοκίον.

Τοῦ Γαβριὴλ φθεγξαμένου, σοὶ Παρθένε τὸ Χαῖρε, σὺν τῇ φωνῇ ἐσαρκοῦτο, ὁ τῶν ὅλων Δεσπότης, ἐν σοὶ τῇ ἁγίᾳ κιβωτῷ, ὡς ἔφη ὁ δίκαιος Δαυΐδ, ἐδείχθης πλατυτέρα τῶν οὐρανῶν, βαστάσασα τὸν Κτίστην σου. Δόξα τῷ ἐνοικήσαντι ἐν σοί, δόξα τῷ προελθόντι ἐκ σοῦ, δόξα τῷ ἐλευθερώσαντι ἡμᾶς, διὰ τοῦ τόκου σου.

Ἀπόλυσις.



www.tezaurliturgic.ro

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α΄ Στιχολογίαν, Κάθισμα.
Ἦχος α΄. Τὸν τάφον σου.

Ἀγάλλεται φαιδρῶς, ἐν Κυρίῳ ἡ Κρήτη, ὦ Τίτε τὴν σεπτήν, ἐκτελοῦσά σου μνήμην, καὶ Κάρᾳ τῇ τιμίᾳ σου, καταφεύγουσα κράζει σοι· Πρωτεπίσκοπε, Χριστῷ μὴ παύσῃ πρεσβεύων, ὑπὲρ ποίμνης σου, ἐγκαυχωμένης ἐνθέως, τῇ δόξῃ σου πάντοτε.

Δόξα. Ὅμοιον.

Ἐν πίστει ἀληθεῖ, τέκνον γνήσιον ὤφθης, Ἐθνῶν τοῦ εὐκλεοῦς, Ἀποστόλου ὦ Τίτε, καὶ τούτῳ ὡς γενόμενος, κατὰ πάντα ὑπήκοος, διηκόνησας, Εὐαγγελίου τῷ λόγῳ, καὶ ὡς Ἄγγελος, ἐν Κρήτῃ ὤφθης εἰρήνης, δυνάμει τοῦ Πνεύματος.

Καὶ νῦν. Θεοτοκίον.

Χριστοῦ τοῦ δι᾽ ἡμᾶς, ἐξ ἁγνῶν σου αἱμάτων, Παρθένε ἀγαθή, σαρκωθέντος ἀφράστως, τὸν λόγον ἐν τοῖς Ἔθνεσι, θεοσόφως ἐκήρυξεν, ὁ μακάριος, αὐτοῦ Ἀπόστολος Τίτος, μεθ᾽ οὗ πρέσβευε, ἵνα σωθῶμεν οἱ πίστει, τιμῶντες

www.tezaurliturgic.ro



τὸν τόκον σου.

Μετὰ τὴν β' Στιχολογίαν, Κάθισμα.
Ἦχος γ'. Θείας πίστεως.

Ἔχων δύναμιν, Πνεύματος Θείου, ἐπεδήμησας, τῇ Κρητονήσῳ, τοῦ Χριστοῦ θεομάκαρ Ἀπόστολος, ἐν ᾗ ὡς εἴκων τοῦ Παύλου τῷ ῥήματι, ἐπιδιώρθωσας Τίτε τὰ λείποντα. Ὅθεν πρέσβευε, ἀεὶ τῷ Θεῷ δωρήσασθαι, πταισμάτων ἱλασμὸν ἡμῖν καὶ ἔλεος.

Δόξα. Ὅμοιον.

Μύστης γέγονας, Εὐαγγελίου, καὶ διδάσκαλος, θεογνωσίας, ἐν τοῖς Ἔθνεσι θείᾳ ἐν χάριτι, τοῦ διδασκάλου σου Παύλου ἑπόμενος, ἐν ἀκριβείᾳ ταῖς τρίβοις Ἀπόστολε· μεθ' οὗ πρέσβευε, ὦ Τίτε Κυρίῳ πάντοτε, δωρήσασθαι ἡμῖν χάριν σωτήριον.

Καὶ νῦν. Θεοτοκίον.

Θείου Πνεύματος, τῇ συνεργίᾳ, ἐσωμάτωσας, Πατρὸς τὸν Λόγον, δίχα φυρμοῦ καὶ συγχύσεως Δέσποινα, ὡς θεοπνεύστῳ ἐν γλώσσῃ ἐκήρυξε, τῇ οἰκουμένῃ ὁ Τίτος ὁ ἔνδοξος. Ὅθεν πρέσβευε, ὡς Μήτηρ αὐτοῦ Πανάχραντος, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα.
Ἦχος δ'. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Περιπολεύσας τὸ ἐπίγειον πλάτος, ὡς συνακόλουθος πιστότατος Παύλου, Ἐθνῶν τοῦ θεοκήρυκος, ὦ Τίτε ἱερέ, παρ' αὐτοῦ Ἐπίσκοπος, κατεστάθης ἐν Κρήτῃ, σαφηνίζων ἄριστα, εὐσεβείας τὸν λόγον, καὶ ἐκδιδάσκων ἅπαντας σαφῶς, τῆς ἀσεβείας τῶν ἔργων ἀπέχεσθαι.

Δόξα. Ὅμοιον.

Δαδοῦχον ἔχων καὶ λαμπτῆρα τὸν Παῦλον, καθοδηγοῦντά σε πρὸς θείαν ἡμέραν, ὦ Τίτε παμμακάριστε, δογμάτων

www.tezaurliturgic.ro



εὐσεβῶν, φῶς τῇ Κρήτῃ ἔλαμψας, καὶ εἰδώλων ματαίων, τῆς ἀπάτης ἔλυσας, τὴν ἀσέληνον νύκτα. Ὅθεν ἡμᾶς πορεύεσθαι ἀεί, ἐν τῷ φωτὶ ταῖς εὐχαῖς σου ἀξίωσον.

Καὶ νῦν. Θεοτοκίον.

Οἰκονομίας τῆς φρικτῆς τοῦ Υἱοῦ σου, μύστης ἐγένετο σοφὸς ἐν τῇ Κρήτῃ, ὁ Τίτος ὁ Ἀπόστολος, Παρθένε Μαριάμ· Παύλου γὰρ τὰ ῥήματα, ἐν καρδίᾳ φυλάττων, πόνων οὐκ ἐφείσατο, καὶ κινδύνων μυρίων, ἵνα κερδήσῃ πάντας ἐν Χριστῷ, τῷ διὰ σοῦ σαρκωθέντι Θεόνυμφε.

Οἱ Ἀναβαθμοί, ἤτοι· τὸ α΄ Ἀντίφωνον τοῦ δ΄ ἤχου καὶ τὸ Προκείμενον.

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτοῦ.

Στίχ. Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ, ποίησιν δὲ χειρῶν αὐτοῦ ἀναγγέλλει τὸ στερέωμα.

Εὐαγγέλιον, ζήτει τὸ α΄ Ἑωθινόν.

Ὁ Ν΄. Δόξα. Ταῖς τοῦ Ἀποστόλου... Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου...

Ἰδιόμελον. Ἦχος β΄.
Κυρίλλου Ἱερομονάχου.

Στίχ. Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου...

Τίτε ἡ ἄψευστος γλῶσσα, ἡ παναρμόνιος λύρα τῶν οὐρανίων φωνῶν, ὁ τοῦ Εὐαγγελίου ἀροτήρ, Σταυρῷ ὥσπερ ἀρότρῳ, τὴν Κρήτην ἐγεώργησας· Παύλῳ γὰρ ὁλοτελῶς, ὑπήκοος γενόμενος, ἐν τῇ νήσῳ ἐπιστάς, τὰ λείποντα ἐπιδιώρθωσας, κατὰ πόλιν Πρεσβυτέρους ἐγκατέστησας, καὶ σαυτὸν ὑποτύπωσιν τελείαν, τῆς πίστεως τῶν ἔργων παρέστησας. Διὸ πρέσβευε ἀεὶ ὑπὲρ αὐτῆς, τὴν ποίμνην σου διασῴζων, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Σῶσον, ὁ Θεός, τὸν λαόν σου...

www.tezaurliturgic.ro



Εἶτα· ὁ Κανὼν τῆς Θεοτόκου καὶ οἱ Κανόνες τοῦ Ἀποστόλου. Κανὼν πρῶτος τοῦ Ἀποστόλου, οὗ ἡ Ἀκροστιχίς· «Παύλου μαθητὴν Τίτον ὑμνῶ προφρόνως».

Ὠδὴ α΄. Ἦχος δ΄. Ἀνοίξω τὸ στόμα μου.

Παντοίοις χαρίσμασι, καταπλουτίσασα χάρις σε, τοῦ Πνεύματος κήρυκα, θεῖον Ἀπόστολον, εἰς τὰ πέρατα, κηρύττοντα ἐκλάμπει, τοῦ Λόγου τὴν σάρκωσιν, Τίτε ἀοίδιμε.

Αὐγὴν θείας χάριτος, εἰσδεδεγμένος ἐξήστραψας, ὡς ἥλιος πάνσοφε, ταῖς ἐν τῷ σκότει ψυχαῖς, ἃς ἐφώτισας, ἐξαίρων ἁμαρτίας, δουλείας λυτρούμενος, πλάνης μακάριε.

Ὑπάρχων ἀνάπλεως, τῶν χαρισμάτων τοῦ Πνεύματος, ὁ Παῦλος ὁ πάνσοφος, σὲ προχειρίζεται, καὶ διάκονον, καὶ θεῖον ὑποφήτην, καὶ πίστεως κήρυκα, Τίτε θεσπέσιε.

Θεοτοκίον.

Λυτρούμενος ἔλαμψε, σοῦ ἐκ νηδύος ὁ Κύριος, τοῦ κόσμου τὰ πέρατα, πλάνης Θεόνυμφε· ὃν ἱκέτευε, καὶ πάντοτε δυσώπει, σωθῆναι τοὺς πίστει σε, Κόρη γεραίροντας.

Κανὼν δεύτερος τοῦ Ἀποστόλου, οὗ ἡ Ἀκροστιχίς· «Ἄδω τὸν Ἀρχίθρονον τῆς Κρήτης πόθῳ. Κυρί(λ)λου».

Ἦχος πλ. δ΄. Ἁρματηλάτην Φαραώ.

Ἀθανατίζουσαν ζωὴν ἀπέλαβες, τῶν ἐκλεκτῶν ἐν σκηναῖς, τῆς ἀθανασίας, ὡς σοφὸς Ἀπόστολος, ὦ Τίτε παμμακάριστε, ῥητορεύσας τὸν λόγον, δι᾽ οὗ τὰ ἔθνη ὡδήγησας, πρὸς τοῦ Λυτρωτοῦ τὴν ἐπίγνωσιν.

Δύναμιν ἄνωθεν πολλὴν δεξάμενος, τοῦ Δυνατοῦ ἀληθῶς, ἅρμα ἀνεδείχθης, ἰσχυρὸν ἀνίκητον, καὶ ἅρματα συνέτριψας, ἀπιστίας εἰδώλων, τοῦ Παρακλήτου ἐν χάριτι, Τίτε θεη-

www.tezaurliturgic.ro



γόρε Ἀπόστολε.

Ὡς φῶς ἐξέλαμψας λαμπρῶς τοῖς πέρασι, ἠμφιεσμένος Θεοῦ, τὴν σωτηριώδη, χάριν Τίτε πάνσοφε, καὶ πλάνης τὰ ὑψώματα, ὑψηλαῖς διδαχαῖς σου, καταβαλὼν ἐθριάμβευσας, νίκας κατ' ἐχθρῶν κατορθούμενος.

Θεοτοκίον.

Τυραννικῆς ὡς ἀληθῶς χειρώσεως, τοῦ παλαμναίου ἐχθροῦ, γένος τῶν ἀνθρώπων, Μαριὰμ ἐλύτρωσας, ἀφράστως σωματώσασα, ἐξ ἁγνῶν σου αἱμάτων, δίχα φυρμοῦ καὶ συγχύσεως, Λόγον τοῦ Πατρὸς τὸν προάναρχον.

Καταβασία. Σταυρὸν χαράξας.

Κανὼν πρῶτος. Ὠδὴ γ΄. Οὐκ ἐν σοφίᾳ.

Οὐκ ἐν σοφίᾳ μωραινούσῃ, αὐτῇ τοὺς προσέχοντας, ἀλλὰ γνώσει ἀληθεῖ, τὴν ἀγνωσίαν μακάριε, ψυχῶν ἀπεδίωξας, τῶν προστρεχόντων σοι.

Ὑλομανοῦσαν ἀθεΐας, ἀκάνθαις τὴν ἄρουραν, παγκληρίας τῶν ἐθνῶν, δρεπάνῃ θείᾳ ἐκάθηρας, γνώσεως τὰ σπέρματα, καταβαλλόμενος.

Μίαν κηρύττων ἐν τρισί, τοῖς προσώποις Θεότητα, ἀπεδίωξας ἀχλύν, πολυθεΐας μακάριε, θείαν πρὸς ἐπίγνωσιν, ἄγων τὰ πέρατα.

Θεοτοκίον.

Ἁγιωτέραν τῶν Ἀγγέλων, καὶ πάσης τῆς κτίσεως, ἀνωτέραν ὁ ἐκ σοῦ, σαρκὶ τεχθείς σε εἰργάσατο· ὅθεν σε ὡς Δέσποιναν, πάντων γεραίρομεν.

Κανὼν δεύτερος. Ὁ στερεώσας κατ' ἀρχάς.

Ὁ στερεώσας κατ' ἀρχάς, τοὺς οὐρανοὺς ἐν συνέσει, οὐρανόν σε λογικὸν τῇ δυνάμει, ἀπειργάσατο αὐτοῦ, παν-

www.tezaurliturgic.ro



σόφως διηγούμενον, τῆς πίστεως τὸν λόγον, Τίτε ἐν πᾶσι τοῖς Ἔθνεσι.

Νύκτα τῆς πλάνης ἀστραπαῖς, τῶν θεοπνεύστων σου λόγων, ὡς Ἀπόστολος καὶ κῆρυξ τοῦ Λόγου, κατεφώτισας λαμπρῶς, περιφανῶς μιμούμενος, τῆς ἐκλογῆς τὸ σκεῦος, Παῦλον ὦ Τίτε πανεύφημε.

Ἀνακηρύξας τὸν Χριστόν, παντὸς τοῦ κόσμου Σωτῆρα, ἐνεούργησας ἀνθρώπων καρδίας, καὶ ἐποίησας αὐτάς, καρπογονεῖν τῆς πίστεως, τοὺς στάχυας πλουσίως, Τίτε θεόφρον Ἀπόστολε.

Θεοτοκίον.

Ῥερυπωμένον τῶν παθῶν, τοῖς μολυσμοῖς με Παρθένε, μὴ παρίδῃς εὐσεβῶς ἱκετεύω, ἀλλ' ὡς μόνη καθαρά, τῆς μητρικῆς σου χάριτος, διαυγεστάτοις ῥείθροις, κάθαρον Μῆτερ καὶ σῶσόν με.

Καταβασία. Ῥάβδος εἰς τύπον.

Κάθισμα. Ἦχος πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον.

Ὥσπερ ἄστρῳ ἡλίῳ συμπορευθείς, παναοίδιμε Τίτε Παύλῳ σαφῶς, τὴν γῆν ἐφωτίσατε, καὶ τὸ σκότος ἐλύσατε· ἐν τῇ Κρητῶν δὲ νήσῳ, εἰσδύσας μακάριε, διὰ θανάτου πᾶσιν, ἀδύτους κατέλιπες, θείας ὡς ἀκτῖνας, τοὺς σοὺς πόνους καὶ λόγους, ὑφ' ὧν ἐλλαμπόμενοι, εὐσεβῶς σε γεραίρομεν, καὶ συμφώνως βοῶμέν σοι· Πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

Δόξα. Ὅμοιον.

Ὡς τοῦ σκεύους ὑπάρχων τῆς ἐκλογῆς, ἀπεικόνισμα θεῖον ὡς ἀληθῶς, τὰ θεῖα μυστήρια, ἐκδιδάσκεις τῷ Πνεύ-

www.tezaurliturgic.ro



ματι, καὶ φωτισθεὶς τῇ χάριτι, τῆς θείας ἐλλάμψεως, τὰς τῶν πιστῶν καρδίας, ἐνθέως κατηύγασας. Ὅθεν καὶ τῇ Κρήτῃ, νοητῶς καταλείψας, τὰ θεῖά σου δόγματα, κατεφώτισας ἅπαντας, μάκαρ Τίτε Ἀπόστολε· πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

Καὶ νῦν. Θεοτοκίον.

Χαῖρε θρόνε πυρίμορφε τοῦ Θεοῦ· χαῖρε Κόρη καθέδρα βασιλική, κλίνη πορφυρόστρωτε, χρυσοπόρφυρε θάλαμε, χλαμὺς ἀλουργόχροε, τιμαλφέστατον τέμενος, ἀστραπηφόρον ἅρμα, λυχνία πολύφωτε· χαῖρε Θεοτόκε, δωδεκάτειχε πόλις, καὶ πύλη χρυσήλατε, καὶ παστὰς ἀγλαόμορφε, ἀγλαόχρυσε τράπεζα, θεοκόσμητον σκήνωμα· χαῖρε ἔνδοξε, νύμφη ἡλιοστάλακτε· χαῖρε μόνη ψυχῆς μου διάσωσμα.

Κανὼν πρῶτος. Ὠδὴ δ΄. Ὁ καθήμενος ἐν δόξῃ.

Θησαυρὸν ἐξ ἀκενώτων, ἀρυόμενος πάνσοφε, πενομένας φρένας, πλούτου ἀληθείας ἐνέπλησας, νενεκρωμένας καρδίας ἀνεζώωσας, ἀγνωσίας διώκων, ἀχλὺν παναοίδιμε.

Ἡ τοῦ Παύλου σε σαγήνη, τῇ προνοίᾳ τῆς χάριτος, σαγηνεύει Τίτε, μέλλοντα προθύμως εἰς ὕστερον, σοῦ τῷ ἀγκίστρῳ τοῦ λόγου ἔθνη πάμπολλα, ἀνελκύσειν, ἀπάτης βυθοῦ πρὸς εὐσέβειαν.

Τῷ κλεινῷ ὥσπερ ἀρνίον, θείῳ Παύλῳ ἑπόμενος, τοὺς βαρεῖς ἐκ μέσου, λύκους θεηγόρε ἀπήλασας, τὰ τῶν εἰδώλων τεμένη κατηδάφισας, καὶ ναοὺς Θεῷ, τοὺς γηγενεῖς ἀπετέλεσας.

Θεοτοκίον.

Ἡ Ἁγία Θεοτόκος, ἡ σκηνὴ ἡ ἀμόλυντος, τοῦ φωτὸς ἡ πύλη, τράπεζα καὶ στάμνος ἡ πάγχρυσος, τὸ ἀλατόμη-

www.tezaurliturgic.ro



τον ὄρος καὶ κατάσκιον, ὡς χωρήσασα, τὸν Πλαστουργὸν μακαρίζεται.

Κανὼν δεύτερος. Εἰσακήκοα Κύριε.

Χαριστήριον αἴνεσιν, ᾄδει σοι ἡ Κρήτη Τίτε Ἀπόστολε, ἀπηχήμασι τῆς γλώσσης σου, καθοδηγηθεῖσα πρὸς εὐσέβειαν.

Ἱλασμὸν ἀνεκήρυξας, Τίτε θεομάκαρ καὶ ἀπολύτρωσιν, τὸν Χριστὸν πᾶσι τοῖς Ἔθνεσιν, οἷα θεοκῆρυξ θεοδίδακτος.

Θεορρήμονι γλώττῃ σου, Τίτε διερμήνευσας τὸ μυστήριον, τῆς Χριστοῦ ἐνανθρωπήσεως, καὶ ψυχὰς ἀνθρώπων ἀνεγέννησας.

Ῥητορεύσας μυστήριον, Τίτε τῆς τοῦ Λόγου φρικτῆς κενώσεως, τῶν εἰδώλων ἐταπείνωσας, ψυχολέθρου πλάνης τὴν αὐθάδειαν.

Θεοτοκίον.

Ὁλικῶς ἀνακείμενον, Ἄχραντε Μαρία τῇ προστασίᾳ σου, μὴ ἐάσῃς με τὸν ἄθλιον, ἐν βυθῷ πταισμάτων ἀπολλύμενον.

Καταβασία. Εἰσακήκοα Κύριε.

Κανὼν πρῶτος. Ὠδὴ ε΄. Ἀσεβεῖς οὐκ ὄψονται.

Νεμομένην ἔστησας, κακίας τὴν πληγήν, τῶν Ἐθνῶν Τίτε τὰς ψυχάς, τῷ νοστίμῳ ἅλατι, τῶν θείων λόγων σου, ἰατρὸς ὡς ἄριστος, ὡς τῆς χάριτος διάκονος.

Ταῖς τοῦ Παύλου νεύσεσιν, ὑπείκων εὐμενῶς, σὺν αὐτῷ τὴν ὑπ᾽ οὐρανόν, διατρέχεις πάνσοφε, λόγον τῆς γνώσεως, εὐαγγελιζόμενος, θεοκῆρυξ πανσεβάσμιε.

www.tezaurliturgic.ro



Ἰσουργὸν ὁμόθρονον, τὸν Λόγον τῷ Πατρί, ἐκδιδάσκων οἷα σοφός, θεηγόρε ἔπεισας, τοὺς ματαιόφρονας, τῶν εἰδώλων ἅπασαν, τὴν ἀπάτην ἀποκρούεσθαι.

Θεοτοκίον.

Τὴν Ἁγνὴν ἁγνεύοντι, τιμήσωμεν νοΐ, καλλονὴν τὴν τοῦ Ἰακώϐ, καὶ ἐνθέοις πράξεσι καλλυνόμενοι, εὐσεβῶς ὑμνήσωμεν, ὡς Μητέρα τοῦ Θεοῦ ἡμῶν.

Κανὼν δεύτερος. Ἵνα τί με ἀπώσω.

Νομοθέτης ἐδείχθης, Τίτε εὐσεβείας ἐν Κρήτῃ πανάριστος, ἐκλογῆς τῷ σκεύει, πειθαρχήσας ὡς πλήρης συνέσεως, καὶ ὑπερβαλλόντως, ἔργῳ καὶ λόγῳ κοπιάσας, ἵνα πάντας κερδήσῃς Ἀπόστολε.

Ὁλικῇ διανοίᾳ, συνακολουθήσας τῷ Παύλῳ Ἀπόστολε, σὺν αὐτῷ διῆλθες, πλείστας πόλεις ὡς κῆρυξ οὐράνιος, τοῦ Εὐαγγελίου, τὸν φωτισμὸν ἐξανατέλλων, τοῖς ἐν πλάνης τῷ σκότει καθεύδουσι.

Νικηφόρος πρὸς πόλον, πρὸς θείας καταπαύσεις πρὸς δόξαν ἀείζωον, πλάνης ὡς νικήσας, ἰσχυρὰς παρατάξεις ἀνέδραμες, καὶ τῆς συναυλίας, τῶν ἐκλεκτῶν θεόφρον Τίτε, ἐν φωτὸς μετοχῇ κατηξίωσαι.

Τειχοσείστῃ σῶν λόγων, Τίτε ἑλεπόλεις κακίας κατέβαλες, καὶ τῆς ἀληθείας, τὴν ἰσχὺν ἀπροσμάχητον ἔδειξας, τῷ Χριστῷ ἀξίους, ἐξ ἀναξίων ἀναδείξας, τοὺς τὰ εἴδωλα πρῴην λατρεύοντας.

Θεοτοκίον.

Ἡλιόμορφε Κόρη, Κεχαριτωμένη Παρθένε Μητρόθεε, ἴδε ἐν εὐσπλάγχνῳ, ἐφ' ἡμᾶς ἱκετεύομεν ὄμματι, τὰς ζωοδωρήτους, τῆς κραταιᾶς σου προστασίας, δωρεὰς ἡμῖν πᾶσι

www.tezaurliturgic.ro



παρέχουσα.

Καταβασία. Ὢ τρισμακάριστον ξύλον.

Κανὼν πρῶτος. ᾨδὴ στ΄. Θύσω σοι μετὰ φωνῆς.

Ὁ Παῦλος, ὁ τοῦ κόσμου ἀνέσπερος ἥλιος, σὲ ὡς ἀκτῖνα ἐκπέμπει, φωτοβόλον Τίτε τὰς ἐν τῷ σκότει, τῆς ἀγνοίας, καθευδούσας καρδίας φωτίζουσαν.

Ναμάτων, ζωηρύτων ὑπάρχων ἀνάπλεως, ῥείθροις ἐνθέων δογμάτων, τοὺς χειμάῤῥους μάκαρ τῆς ἀγνωσίας, κατακλύζεις, καταρδεύων Κρητῶν τὰ συστήματα.

Θεοτοκίον.

Ὑμνοῦσι, γενεαὶ γενεῶν σε Πανύμνητε· τὸν ὑπερύμνητον Λόγον, τοῦ Θεοῦ γάρ ἔτεκες ὑπὲρ λόγον, ὃν δοξάζει, καὶ βροτῶν καὶ Ἀγγέλων τὰ τάγματα.

Κανὼν δεύτερος. Ἱλάσθητί μοι Σωτήρ.

Σαγήνῃ τῇ μυστικῇ, τῶν θεοπνεύστων λογίων σου, ἀνθρώπων πολλῶν ψυχάς, σοφὲ ἐσαγήνευσας, καὶ τούτους προσήγαγες, σεσωσμένους Τίτε, τῇ Τριάδι ὡς ὀψώνιον.

Κρητῶν σε πάντες χοροί, χρεωστικῶς μακαρίζουσιν, ὡς πρώτιστον ἀληθῶς, τῆς νήσου Ἐπίσκοπον, δι᾽ οὗ ἡ ἀλήθεια, Τίτε ἐπεφάνη, ἡ σωτήριος τῆς πίστεως.

Ῥοαῖς σοφῶν διδαχῶν, τὴν χθόνα Κρήτης κατήρδευσας, ἱερουργίαις σεπταῖς, αὐτὴν καθηγίασας, καὶ νύμφην ἀνέδειξας, κατηγλαϊσμένην, τοῦ Σωτῆρος Τίτε ἔνδοξε.

Ἡ χάρις τοῦ παντουργοῦ, Πνεύματος Τίτε φοιτήσασα, σῷ στόματι μυστικῶς, ἀνέδειξε ῥήτορα, Χριστοῦ τῆς κενώσεως, Ἔθνη ὁδηγοῦντα, πρὸς σωτήριον ἐπίγνωσιν.

www.tezaurliturgic.ro



Θεοτοκίον.

Τῷ σάλῳ με χαλεπῶς, ἁμαρτιῶν κυματούμενον, πρὸς μετανοίας Ἁγνή, λιμένα κατεύθυνον, καὶ σῶσόν με Δέσποινα, τὸν ἀπεγνωσμένον, μητρικαῖς σου παρακλήσεσι.

Καταβασία. Νοτίου θηρός.

Κοντάκιον. Ἦχος β΄. Τὰ ἄνω ζητῶν.

Τοῦ Παύλου δειχθείς, συνόμιλος Ἀπόστολε, σὺν τούτῳ ἡμῖν, τὸν λόγον προκατήγγειλας, τῆς ἐνθέου χάριτος, μυστολέκτα Τίτε μακάριε· διὰ τοῦτο βοῶμέν σοι· Μὴ παύσῃ πρεσβεύων ὑπὲρ πάντων ἡμῶν.

Ὁ Οἶκος.

Τὸν ἐπὶ γῆς ὀφθέντα Σωτῆρα, καταγγείλας ἐν κόσμῳ, τῆς αὐτοῦ ἀψευδοῦς Θεότητος, ἐχρημάτισας φίλος οἰκεῖος καὶ κληρονόμος· ὅθεν πίστει προσπίπτων σε ἱκετεύω, ὅπως ταῖς σαῖς ἱκεσίαις παράσχῃ μοι ἄφεσιν, διώκων τὴν ἀχλυώδη τῆς ψυχῆς μου σκοτόμαιναν ἔνδοξε, τοῦ ἐπαξίως ὑμνῆσαί σε, καὶ βοᾶν σοι ἀπαύστως Ἀπόστολε· Μὴ παύσῃ πρεσβεύων ὑπὲρ πάντων ἡμῶν.

Μηνολόγιον.

Τῇ ΚΕ΄ τοῦ αὐτοῦ μηνός, Μνήμη τοῦ Ἁγίου ἐνδόξου καὶ πανευφήμου Ἀποστόλου Τίτου, πρώτου Ἐπισκόπου Κρήτης.

Στίχοι.

Ἴτω παρ᾽ ἡμῶν καὶ Τίτῳ βραχὺς τίτλος,
Τούτου τελευτὴν τὴν ἐν εἰρήνῃ φέρει.

Οὐράνιον δάπεδον λάχες εἰκάδι Τίτ᾽ ἐνὶ πέμπτῃ.

Συναξάριον.

Οὗτος ὁ μακάριος ἦν Ἕλλην τῷ γένει. Συναντήσας δὲ τὸν τῶν Ἐθνῶν Ἀπόστολον Παῦλον καὶ παρ᾽ αὐτοῦ τὸ μυστήριον τῆς

www.tezaurliturgic.ro



τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ πίστεως διδαχθείς, συνακόλουθος αὐτῷ καὶ συνέκδημος ἐγένετο, τὸ Εὐαγγέλιον καταγγέλλων ἐν τοῖς Ἔθνεσι.

Τοῦτον ὁ θεσπέσιος Παῦλος, κατέλιπεν ἐν Κρήτῃ, ἵνα, ὡς γράφει αὐτῷ, τὰ λείποντα ἐπιδιορθώσῃ καὶ καταστήσῃ κατὰ πόλιν Πρεσβυτέρους. Γενόμενος δὲ πρῶτος Ἐπίσκοπος τῆς νήσου καὶ τὸ τοῦ διδασκάλου πρόσταγμα ἔργῳ τε καὶ λόγῳ πληρώσας καὶ πολλοὺς ἐπιστρέψας πρὸς τὴν τοῦ Χριστοῦ πίστιν, πλήρης ἡμερῶν πρὸς τὰς αἰωνίους μονὰς ἐξεδήμησε.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῆς ἐπανόδου τοῦ Λειψάνου τοῦ Ἁγίου ἐνδόξου Ἀποστόλου Βαρθολομαίου.

Στίχοι.

Ἵνα τρυγῶμεν ἄφθονον πιστοὶ χάριν,
Βαρθολομαῖος εὑρέθη κεκρυμμένος.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῶν Ἁγίων Πατέρων ἡμῶν Μηνᾶ, Ἐπιφανίου, Γενναδίου καὶ Ἰωάννου, Ἀρχιεπισκόπων Κωνσταντινουπόλεως.

Στίχοι.

Ὁ κόσμος ἐκλέλοιπε τῆς Ἐκκλησίας,
Μηνᾶς γὰρ ἐκλέλοιπεν ἐκ τῶν ἐνθάδε.

Σπάσας τελευτῆς Ἐπιφάνιος μέθυ,
Κεῖται τραπεὶς εἰς ὕπνον εὐθὺς τῷ κάρῳ.

Ἐπιφανίῳ, Γενναδίῳ ποιμέσι,
Χριστοῦ, Ἰωάννῃ τε ὕμνον προσφέρω.

Ταῖς αὐτῶν πρεσβείαις, ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

Κανὼν πρῶτος. Ὠδὴ ζ'. Ὁ διασώσας ἐν πυρί.

Μίαν Θεότητα ὑμνεῖν, μίαν κυριότητα σέβειν, Τίτος διδάσκων τοὺς βροτούς, πολυθέου μανίας ἀπήλλαξεν, εὐσεβῶς ἀνακράζοντας· Ὁ Θεός, ὁ τῶν Πατέρων εὐλογητὸς εἶ.

www.tezaurliturgic.ro



Νενεκρωμένῃ τῇ ψυχῇ, ἄψυχον οἱ σέβοντες ὕλην, τὸν νεκρωθέντα δι' ἡμᾶς, ζωοδότην Θεὸν κατενόησαν, ὑπὸ σοῦ παιδευόμενοι, Μαθητὰ καὶ μυστολέκτα τῶν ἀπορρήτων.

Ὡς ἀληθείας ὑπουργός, ψεύδους καθαιρέτης ἐφάνης, καὶ ὡς τοῦ Παύλου μαθητής, διωγμοὺς καὶ κινδύνους ὑπέμεινας, σὺν αὐτῷ μέλπων ἔνδοξε· Ὁ Θεός, ὁ τῶν Πατέρων εὐλογητὸς εἶ.

Θεοτοκίον.

Πεποικιλμένη ἀρεταῖς, τοῦ Παμβασιλέως παρέστης, ἐκ δεξιῶν τοῦ ἐκ τῶν σῶν, σαρκωθέντος αἱμάτων Ἀνύμφευτε, ἐκτενῶς ἱκετεύουσα, λυτρωθῆναι ἀπὸ πάσης ἡμᾶς ἀνάγκης.

Κανὼν δεύτερος. Παῖδες Ἑβραίων.

Ἥλιος ὤφθης τοῖς ἐν Κρήτῃ, θείας πίστεως τὸ φῶς ἐξανατείλας, νοηταῖς ἀστραπαῖς, λογίων θεοπνεύστων, μαρμαρυγαῖς θαυμάτων σου, καὶ φρικτῶν σημείων Τίτε.

Στόματι Τίτε θεοφθέγκτῳ, τὰ μυστήρια Θεοῦ ἀποκαλύψας, οἰκονόμος ψυχῶν, θεόληπτος ἐδείχθης, καὶ φυτοκόμος ἄριστος, τῶν ἠθῶν τῆς εὐσεβείας.

Πᾶσα ἡ Κρήτη εὐφημεῖ σε, ὡς διδάσκαλον σοφὸν θεόφρον Τίτε, ὡς Ποιμένα καλόν, θεμέλιον ὡς πρῶτον, ὡς λαμπαδοῦχον ἔνθεον, ἐν αὐτῇ θεογνωσίας.

Ὅλῃ ψυχῇ γεραίρομέν σε, τὸν ἀρχίθρονον ἡμῶν παμμάκαρ Τίτε, ἐκβοῶντες πιστῶς· Τὴν ποίμνην σου φυλάττων, μὴ παύσῃ φιλοπρόβατε, κραταιᾷ σου ἀντιλήψει.

Θεοτοκίον.

Θύραν ἐλέους ἄνοιξόν μοι, ἱκετεύουσα ἀεὶ ἐν παρρησίᾳ, τὸν ἀφράστως ἐκ σοῦ, σωματωθέντα Λόγον, δι' ἔλεος ἀνείκαστον, Παντευλόγητε Μαρία.

www.tezaurliturgic.ro



Καταβασία. Ἔκνοον πρόσταγμα.

Κανὼν πρῶτος. Ὠδὴ η΄. Παῖδας εὐαγεῖς.

Ῥανίσιν αἱμάτων σου ἐσβέσθη, τὸ πῦρ τῆς ἀπάτης τὸ ἀλλότριον, νόσοι ἐδιώχθησαν, δαίμονες ἠλάθησαν, τῇ πρὸς Θεὸν δεήσει σου, Τίτε Ἀπόστολε· διό σε ὡς θεράποντα θεῖον, τοῦ Παμβασιλέως, Χριστοῦ ἀνευφημοῦμεν.

Ὅλος τῷ Θεῷ ἱερωμένος, καὶ θείαις ἠγλαϊσμένος Τίτε χάρισι, Λόγον τὸν σωτήριον, πᾶσι διετράνωσας, τὸν ἀλογίας πάνσοφε, ἡμᾶς ῥυσάμενον, τοὺς πίστει ἀληθεῖ εὐλογοῦντας, καὶ ὑπερυψοῦντας, αὐτὸν εἰς τοὺς αἰῶνας.

Φωτὸς καθαρώτατον δοχεῖον, ἐγένου καταφωτίσας τὴν ὑφήλιον, θείοις ἀμαρύγμασι, Τίτε ἀξιάγαστε, καὶ ἀμαυρώσας ἔνστασιν, παρανομούντων ἐχθρῶν, τὸν Κύριον ὑμνεῖτε ἐβόας, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον.

Ῥομφαία ἡ πάλαι στρεφομένη, τὰ νῶτα Παρθένε νῦν μοι δίδωσι, Λόγον ὅτι ἔτεκες, σάρκα περικείμενον, καὶ ἐν δυσὶ ταῖς φύσεσι, κατανοούμενον· ὃν τρέμουσι Ἀγγέλων αἱ τάξεις, καὶ δοξολογοῦσι, βροτοὶ εἰς τοὺς αἰῶνας.

Κανὼν δεύτερος. Οἱ θεοῤῥήμονες Παῖδες.

Ὡραϊζόμενος αἴγλῃ ὑπερκοσμίῳ, χοροβατεῖς ἐν ὑψίστοις, θεόφρον Τίτε θεούμενος, σὺν Ἁγίων χορείαις, ἀεὶ εὐφραινόμενος.

Κατέλιπέν σε ἐν Κρήτῃ ὁ μέγας Παῦλος, θεογνωσίας φωστῆρα, Εὐαγγελίου ἐκφάντορα, Ἐκκλησίας ὦ Τίτε, θεμέλιον ἄῤῥηκτον.

Ὕμνοις τιμῶμέν σε Τίτε ἠγλαϊσμένε, ὅτι χειμάῤῥους ἀπάτης, καὶ ἀσεβείας ἐξήρανας, ἐκ χειλέων σου βλύσας, τῆς χάριτος νάματα.

www.tezaurliturgic.ro



Θεοτοκίον.

Ρῦσαι πρεσβείαις σου Μῆτερ Εὐλογημένη, ἐχθροῦ ζοφώδους κακίας, τοὺς εὐσεβῶς ἐκβοῶντάς σοι· Χαῖρε φῶς σωτηρίας, βροτοῖς ἀνατείλασα.

Καταβασία. Εὐλογεῖτε Παῖδες.

Κανὼν πρῶτος. Ὠδὴ θ΄. Εὔα μὲν τῷ τῆς παρακοῆς.

Ὅλην σου τὴν πρὸς τὸν Λυτρωτὴν ἀγάμενος, καὶ ἀγάπην καὶ πεποίθησιν, ἕλκει συνέκδημον ὁ Παῦλος, σὺν σοὶ τὸ ἱερὸν Εὐαγγέλιον, τοῖς Ἔθνεσι κηρύττων Ἀπόστολε· ὅθεν σὺν τούτῳ σε γεραίρομεν.

Νόσους ἐκδιώκεις τῶν πιστῶν, δαιμόνια ἀπελαύνεις θείᾳ χάριτι, Κρήτης ὁ μέγας πολιοῦχος, πρωτόθρονος τε ταύτης ὁ ἔνθεος, φωστὴρ ὁ διαυγὴς καὶ οὐράνιος, Τίτε θεόφρον ἀξιάγαστε.

Ὡς ἥλιος ἔλαμψεν ἡμῖν ἡ μνήμη σου, φρυκτωρίαις ταῖς τοῦ Πνεύματος, ὅλη φαιδρῶς ὡραϊσμένη, τὰ νέφη τῶν παθῶν ἐκδιώκουσα· ἣν πίστει τοὺς τελοῦντας διάσῳζε, Τίτε παμμάκαρ ἀξιάγαστε.

Θεοτοκίον.

Σειρὰς τῶν πταισμάτων μου Ἁγνὴ διάλυσον, μεσιτείᾳ σου Πανάμωμε· λῦσον τὸ σκότος τῆς ψυχῆς μου, τὸν σάλον τῶν παθῶν μου κατεύνασον· τοὺς μάτην πολεμοῦντάς με σύντριψον· σῶσόν με σῶσον Ἀειπάρθενε.

Κανὼν δεύτερος. Ἐξέστη ἐπὶ τούτῳ.

Ἰσχὺν ἐνδεδυμένος πνευματικήν, ἐν τῇ Κρήτῃ λαμπρῶς παραγέγονας, νεύσει Θεοῦ, ἔνθα ἀσεβείας τὰς συμπλοκάς, ἐν ταῖς πλοκαῖς τῶν λόγων σου, Τίτε καταλύσας νικητικῶς, ἀνύψωσας τὸ κέρας, Χριστοῦ τοῦ ἀναστάντος, θεομακάριστε τῆς πίστεως.

www.tezaurliturgic.ro



Λαμπρύνας τῆς ψυχῆς σου τὸ ὀπτικόν, ἐπιγνώσει Χριστοῦ τοῦ Σωτῆρός σου, ὄμμα λαμπρόν, ὤφθης ἀγραυλίας τῆς μυστικῆς, καὶ ὄμματα διήνοιξας, τῶν ἐν ἀπιστίᾳ εἰδωλικῇ, δεινῶς ἐσκοτισμένων, φωτὶ τῆς διδαχῆς σου, Τίτε τῆς Κρήτης ἐγκαλλώπισμα.

Ὁ πρῶτος Ἀρχιποίμην τῆς τῶν Κρητῶν, Ἐκκλησίας ὦ Τίτε γενόμενος, ταύτην ἀεί, οἷα κληρουχίαν σου ἐκλεκτήν, ἱκέτευε τοῦ ῥύεσθαι, πάσης ἐξ ἀνάγκης καὶ ἀπειλῆς, καὶ τέκνων τῶν οἰκείων, μὴ παύσῃ μνημονεύων, οἷα φιλόπαις πανάοίδιμε.

Θεοτοκίον.

Ὑπέραγνε Παρθένε Μῆτερ Θεοῦ, τῇ θερμῇ μου φωνῇ ἐπικάμφθητι, ὡς εὐμενής, καὶ ἀπὸ κινδύνων καὶ πειρασμῶν, ἀσθενειῶν καὶ θλίψεων, καὶ τῶν ἐπιθέσεων τοῦ ἐχθροῦ, διάσωσόν με Κόρη, ὅτι εἰς σὲ ἐλπίζω, μετὰ Θεὸν μόνην ὁ ἄθλιος.

Καταβασία. Μυστικὸς εἶ Θεοτόκε.

Ἐξαποστειλάριον. Τοῖς Μαθηταῖς συνέλθωμεν.

Τοῖς Ἔθνεσιν ἐκήρυξας, εὐσεβείας τὸν λόγον, τὴν Κρήτην ἐμαθήτευσας, τῷ Χριστῷ τῷ Σωτῆρι, καὶ στόμα τίμιον ὤφθης, ἐκπηγάσαν ἀφθόνως, σοφίας τοῦ κηρύγματος, τὸ ζωήρυτον ῥεῖθρον, Τίτε σοφέ, Ἀποστόλων δόξης συγκληρονόμε· μεθ' ὧν ἀπαύστως πρέσβευε, ἵνα πάντες σωθῶμεν.

Ἕτερον. Ὅμοιον.

Μύστα τῆς θείας χάριτος, καὶ Ἀπόστολε Τίτε, σὺν Παύλῳ τῷ θεόφρονι, πρέσβευε τῇ Τριάδι, ὑπὲρ εἰρήνης τοῦ κόσμου, καὶ ἡμῖν τοῖς τελοῦσι, τὴν παναγίαν μνήμην σου, καὶ σὲ πόθῳ τιμῶσι, τῶν δυσχερῶν, καὶ πταισμάτων λύσιν καὶ σωτηρίαν, καὶ δόξαν καὶ λαμπρότητα, οὐρανῶν βασιλείας.

www.tezaurliturgic.ro



Θεοτοκίον.

Σὺν Ἀσωμάτων τάξεσι, καὶ Μαρτύρων χορείαις, σὺν Ἀποστόλων τάγμασι, σὺν Προφήταις καὶ πᾶσι, Δικαίοις ὦ Θεομῆτορ, ἀνυμνοῦμέν σε Κόρη· καὶ γὰρ Θεὸν ἐγέννησας, τὸν ἀρρήτῳ σοφίᾳ, διὰ Σταυροῦ, καθελόντα ᾍδου τὴν τυραννίδα, καὶ σώσαντα Πανύμνητε, ἅπαν βρότειον γένος.

ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

Ἱστῶμεν στίχ. δ´ καὶ ψάλλομεν τὰ κάτωθι Στιχηρὰ Προσόμοια.

Ἦχος πλ. δ´. Ὢ τοῦ παραδόξου θαύματος.

Τίτε θεόφρον Ἀπόστολε, εἰδωλικὴν νουνεχῶς, ἀπορρίψας ἀσέβειαν, Παύλῳ ἐμαθήτευσας, τῷ Ἐθνῶν χριστοκήρυκι, καὶ ἀνεδείχθης ὡς πλήρης πίστεως, Εὐαγγελίου ἐργάτης δόκιμος, ζήλῳ νεάζοντι, καταγγείλας ἅπασιν Υἱὸν Θεοῦ, τὸν ἐνανθρωπήσαντα, Λόγον δι᾽ ἔλεος.

Τίτε θεόφρον Ἀπόστολε, λίαν ποθήσας Χριστόν, δι᾽ ἡμᾶς τὸν πτωχεύσαντα, κόσμου τελεώτατα, ἐπελάθου τῶν σχέσεων, καὶ ὥσπερ τέκνον τοῦ Παύλου γνήσιον, αὐτοῦ τῶν θλίψεων ἐκοινώνησας, τὸ Εὐαγγέλιον, μάκαρ ὅ πεπίστευσαι διακονῶν, σὺν αὐτῷ ἐν Πνεύματι, πᾶσι τοῖς Ἔθνεσι.

Τίτε θεόφρον Ἀπόστολε, Παύλου ἁγίαις χερσί, Παρακλήτου ἐν χάριτι, ἐν τῇ Κρήτῃ πρώτιστος, κατεστάθης Ἐπίσκοπος, Χριστοῦ κηρύττων τρανῶς τὴν σάρκωσιν, ἐχθροῦ ἐκτρίβων ἅπασαν πλάνησιν, πᾶσι τὰ πάντα τε, ἀληθῶς γενόμενος ἵνα Θεῷ, προσαγάγῃς ἅπαντας, θεομακάριστε.

Τίτε θεόφρον Ἀπόστολε, τὸν ζωηφόρον Σταυρόν, τοῦ Χριστοῦ ἐπαγόμενος, δύναμιν ἀήττητον, καὶ ἰσχὺν ἀπροσμάχητον, ἐν Κρήτῃ νίκης τρόπαιον ἄφθιτον, κατὰ εἰδώλων τῆς πλάνης ἔστησας, καὶ ἀναδέδειξαι, στρατηγὸς τῆς πίστεως περιφανής, δόξης ἐμφορούμενος, τῆς ὑπὲρ ἔννοιαν.

www.tezaurliturgic.ro



Δόξα. Ἦχος πλ. α΄.
Κυρίλλου Ἱερομονάχου.

Ἐν ὑψηλῷ κηρύγματι σήμερον, τὰ συστήματα τῶν εὐσεβῶν συγκαλεῖται, τοῦ Ἀποστόλου ἡ ὑπέρκαλλος πανήγυρις. Δεῦτε οὖν ἀδελφοί, ἐν εὐφροσύνῃ τὴν μνήμην αὐτοῦ, ἐπιτελέσωμεν ἐκβοῶντες· Χαίροις ὁ πνευματοκίνητον ἔλλαμψιν, ὡς καθαρὸς τῇ καρδίᾳ κομισάμενος, καὶ ἐν σοφίᾳ λόγων τοῖς ἀνθρώποις, τῆς πίστεως τὰ μυστήρια ἀποκαλύψας· χαίροις ὁ διασώσας τὴν Κρήτην, ἁλισκομένην τῇ τῶν εἰδώλων φθορᾷ, καὶ αὐτὴν σῷ λόγῳ ἐπιστηρίξας, πρὸς τοῦ Σωτῆρος τὴν θείαν ἐπίγνωσιν· χαίροις ὁ τοῦ Παύλου κοινωνός, τῆς Ἐκκλησίας ἡ δόξα, καὶ πρόμαχος θρεμμάτων τοῦ Χριστοῦ· ὃν καθικέτευε, ἀρχίθρονε ἡμῶν θεῖε Τίτε, λυτρωθῆναι τὴν ποίμνην σου ἐξ ἐχθρῶν ἐπιβουλῆς, καὶ σωθῆναι τὰς ψυχὰς ἡμῶν ὡς εὔσπλαγχνον.

Καὶ νῦν. Θεοτοκίον.

Μακαρίζομέν σε, Θεοτόκε Παρθένε, καὶ δοξάζομέν σε, οἱ πιστοὶ κατὰ χρέος, τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος τὸ ἄῤῥηκτον, τὴν ἀῤῥαγῆ προστασίαν, καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.



www.tezaurliturgic.ro

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τὰ Τυπικά, οἱ Μακαρισμοὶ καὶ ἐκ τοῦ Κανόνος τοῦ Ἀποστόλου ἡ γ´ καὶ στ´ Ὠδή. Ἀπόστολον καὶ Εὐαγγέλιον, ζήτει τῇ κε´ Αὐγούστου.

### Κοινωνικόν.

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτοῦ. Ἀλληλούϊα.

### Μεγαλυνάρια.

Χαίροις ὁ τοῦ Παύλου συγκοινωνός, καὶ Εὐαγγελίου, θεοφόρος μυσταγωγός· χαίροις Κρητονήσου, Ἐπίσκοπος ὁ πρῶτος, καὶ ὁδηγὸς ὦ Τίτε, πρὸς γνῶσιν ἔνθεον.

Παύλου τὸν συνέκδημον μαθητήν, Τίτον τὸν θεόπνουν, εὐφημήσωμεν εὐλαβῶς, ὅτι εὐσεβείας, ἀνέτειλεν ἐν Κρήτῃ, τὴν φαεινὴν ἡμέραν, λόγῳ τῆς χάριτος.

### *Δίστιχον.*

*Κύριλλον διάσῳζε ὑμνήσαντά σε,*
*Τίτε ἀντιλήψει σου πάσης ἀνάγκης.*